ΠΥΛΑΔΗϹ

ὁρῶ, ϲκοποῦμαι δ' ὄμμα πανταχῆι ϲτρέφων.
Ορ. Πυλάδη, δοκεῖ ϲοι μέλαθρα ταῦτ' εἶναι θεᾶϲ,
ἔνθ' Ἀργόθεν ναῦν ποντίαν ἐϲτείλαμεν;
Πυ. ἔμοιγ', Ὀρέϲτα· ϲοὶ δὲ ϲυνδοκεῖν χρεών.
Ορ. καὶ βωμόϲ, Ἕλλην οὗ καταϲτάζει φόνοϲ;
Πυ. ἐξ αἱμάτων γοῦν ξάνθ' ἔχει θριγκώματα.
Ορ. θριγκοῖϲ δ' ὕπ' αὐτοῖϲ ϲκῦλ' ὁρᾶιϲ ἠρτημένα;
Πυ. τῶν κατθανόντων γ' ἀκροθίνια ξένων.
ἀλλ' ἐγκυκλοῦντ' ὀφθαλμὸν εὖ ϲκοπεῖν χρεών.
Ορ. ὦ Φοῖβε, ποῖ μ' αὖ τήνδ' ἐϲ ἄρκυν ἤγαγεϲ
χρήϲαϲ, ἐπειδὴ πατρὸϲ αἷμ' ἐτειϲάμην
μητέρα κατακτάϲ; διαδοχαῖϲ δ' Ἐρινύων
ἠλαυνόμεϲθα φυγάδεϲ ἔξεδροι χθονὸϲ
δρόμουϲ τε πολλοὺϲ ἐξέπληϲα καμπίμουϲ·
ἐλθὼν δέ ϲ' ἠρώτηϲα πῶϲ τροχηλάτου
μανίαϲ ἂν ἔλθοιμ' ἐϲ τέλοϲ πόνων τ' ἐμῶν
[οὓϲ ἐξεμόχθουν περιπολῶν καθ' Ἑλλάδα]·
ϲὺ δ' εἶπαϲ ἐλθεῖν Ταυρικῆϲ μ' ὅρουϲ χθονόϲ,
ἔνθ' Ἄρτεμίϲ ϲοι ϲύγγονοϲ βωμοὺϲ ἔχει,
λαβεῖν τ' ἄγαλμα θεᾶϲ, ὅ φαϲιν ἐνθάδε
ἐϲ τούϲδε ναοὺϲ οὐρανοῦ πεϲεῖν ἄπο·
λαβόντα δ' ἢ τέχναιϲιν ἢ τύχηι τινί,
κίνδυνον ἐκπλήϲαντ', Ἀθηναίων χθονὶ
δοῦναι (τὸ δ' ἐνθένδ' οὐδὲν ἐρρήθη πέρα)
καὶ ταῦτα δράϲαντ' ἀμπνοὰϲ ἕξειν πόνων.